καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου,
ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης.

12 1 καὶ μνήσθητι τοῦ κτίσαντός σε
ἐν ἡμέραις νεότητός σου,
ἕως ὅτου μὴ ἔλθωσιν ἡμέραι τῆς κακίας
καὶ φθάσωσιν ἔτη, ἐν οἷς ἐρεῖς
Οὐκ ἔστιν μοι ἐν αὐτοῖς θέλημα·
2 ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς
καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες,
καὶ ἐπιστρέψωσιν τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ·
3 ἐν ἡμέρᾳ, ᾗ ἐὰν σαλευθῶσιν φύλακες τῆς οἰκίας
καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως,
καὶ ἤργησαν αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν,
καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς·
4 καὶ κλείσουσιν θύρας ἐν ἀγορᾷ
ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης,
καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου,
καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος·
5 καί γε ἀπὸ ὕψους ὄψονται, καὶ θάμβοι ἐν τῇ ὁδῷ·
καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον,
καὶ παχυνθῇ ἡ ἀκρίς,
καὶ διασκεδασθῇ ἡ κάππαρις,
ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ,
καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι·
6 ἕως ὅτου μὴ ἀνατραπῇ σχοινίον τοῦ ἀργυρίου,
καὶ συνθλιβῇ ἀνθέμιον τοῦ χρυσίου,
καὶ συντριβῇ ὑδρία ἐπὶ τὴν πηγήν,
καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον,
7 καὶ ἐπιστρέψῃ ὁ χοῦς ἐπὶ τὴν γῆν, ὡς ἦν,
καὶ τὸ πνεῦμα ἐπιστρέψῃ πρὸς τὸν θεόν, ὃς ἔδωκεν αὐτό.
8 ματαιότης ματαιοτήτων, εἶπεν ὁ Ἐκκλησιαστής,
τὰ πάντα ματαιότης.
9 Καὶ περισσὸν ὅτι ἐγένετο Ἐκκλησιαστὴς σοφός,

$10^{2}$ παραγε B†, απαγαγε S*†

**12** $1^{3}$ οτου] ου SA | ημεραι] pr. αι B | κακιας] + σου SA | $1^{4}$ φθασουσιν B | ετη > S*† | $1^{5}$ εν > S*† || $2^{3}$ επιστρεψουσιν B(†) | του > A† || $4^{1}$ θυραν A | $4^{2}$ φωνη A† | $4^{3}$ αναστησονται S || $5^{1}$ γε απο υψους] εις το υψος B† | $5^{2}$ ανθησει A | $5^{5}$ ο > A | $5^{6}$ κυκλωσουσιν S^c^V† || $6^{1}$ μη > S† | σχοινιον] pr. το B | $6^{2}$ συντριβη B: ex $6^{3}$ | ανθεμιον Ra.] pr. το mss. | $6^{3}$ υδρια BV†] pr. η rel. | τη πηγη B†, την γην S† || $7^{1.2}$ bis επιστρεψει A | $7^{1}$ ο χους / επι τ. γην] tr. S† | $7^{2}$ ος] ως S*† || $9^{1}$ εκκλ.] pr. ο AV: item S^c^V in $10^{1}$